# ORIGENIS

# CONTRA CELSVM

## LIBRI I. II. III. IV.

RECENSVIT ET CVM DELECTV NOTARVM EDIDIT

WILHELMVS SELWYN, S.T.P.

REGIÆ MAJESTATI A SACRIS,
DOMINÆ MARGARETÆ IN SACRA THEOLOGIA LECTOR,
COLL. DIV. JOANN. OLIM SOCIVS.

CANTABRIGIÆ:
VENEUNT APUD DEIGHTON, BELL ET SOC.
LONDINI: BELL ET FILII.
1876.

# ΩΡΙΓΕΝΟΥΣ

# ΚΑΤΑ ΚΕΛΣΟΥ.

---

## Τόμος πρῶτος.

1. Πρῶτον τῷ Κέλσῳ κεφάλαιόν ἐστι βουλομένῳ διαβαλεῖν Χριστιανισμὸν, ὡς συνθήκας κρύβδην πρὸς ἀλλήλους ποιουμένων Χριστιανῶν παρὰ τὰ νενομισμένα, ὅτι τῶν συνθηκῶν αἱ μέν εἰσι φανεραὶ, ὅσαι κατὰ νόμους γίγνονται· αἱ δὲ ἀφανεῖς, ὅσαι παρὰ τὰ νενομισμένα συντελοῦνται. Καὶ βούλεται διαβαλεῖν τὴν καλουμένην Ἀγάπην Χριστιανῶν πρὸς ἀλλήλους[1], ἀπὸ τοῦ κοινοῦ κινδύνου ὑφισταμένην, καὶ δυναμένην ὑπερόρκια[2]. Ἐπεὶ οὖν τὸν κοινὸν νόμον θρυλλεῖ, παρὰ τοῦτον λέγων Χριστιανοῖς τὰς συνθήκας· λεκτέον πρὸς τοῦτο, ὅτι, ὥσπερ εἴ τις παρὰ Σκύθαις νόμους ἀθέσμους ἔχουσι γενόμενος, ἀναχωρήσεως μὴ ἔχων καιρὸν, βιοῦν παρ' ἐκείνοις ἀναγκάζοιτο, εὐλόγως ἂν οὗτος, διὰ τὸν τῆς ἀληθείας νόμον, ὡς πρὸς τοὺς Σκύθας παρανομίαν, καὶ συνθήκας πρὸς τοὺς τὰ αὐτὰ αὐτῷ φρονοῦντας ποιήσαι ἂν παρὰ τὰ ἐκείνοις νενομισμένα· οὕτως παρ' ἀληθείᾳ δικαζούσῃ οἱ νόμοι τῶν ἐθνῶν, οἱ περὶ ἀγαλμάτων καὶ τῆς ἀθέου πολυθεότητος, νόμοι εἰσὶ Σκυθῶν, καὶ εἴ τι Σκυθῶν ἀσεβέστερον. Οὐκ ἄλογον οὖν συνθήκας παρὰ τὰ νενομισμένα ποιεῖν, τὰς ὑπὲρ ἀληθείας. Ὥσπερ γὰρ, εἰ ὑπὲρ τοῦ τύραννον προλαβόντα τὰ τῆς πόλεως ἀνελεῖν, συνθήκας τινὲς κρύβδην ἐποιοῦντο, καλῶς ἂν ἐποίουν· οὕτω δὴ καὶ

(1) Ruæus, "lego, ὡς ἀπὸ τοῦ. κ. τ. λ."

(2) Seldenus, "de synedriis veterum Hebræorum," legebat, ὑπὲρ ὅρκια. Boherellus, apud R.

Χριστιανοὶ, τυραννοῦντος τοῦ παρ' αὐτοῖς καλουμένου διαβόλου, καὶ τοῦ ψεύδους, συνθήκας ποιοῦνται παρὰ τὰ νενομισμένα τῷ διαβόλῳ, κατὰ τοῦ διαβόλου, καὶ ὑπὲρ σωτηρίας ἑτέρων, οὓς ἂν πεῖσαι δυνηθῶσιν ἀποστῆναι τοῦ ὡσανεὶ Σκυθῶν καὶ τυράννου νόμου.

2. Ἑξῆς βάρβαρόν φησιν ἄνωθεν εἶναι τὸ δόγμα, δηλονότι τὸν Ἰουδαϊσμὸν, οὗ Χριστιανισμὸς ἤρτηται. Καὶ εὐγνωμόνως γε οὐκ ὀνειδίζει ἐπὶ τῇ ἀπὸ βαρβάρων ἀρχῇ τῷ λόγῳ, ἐπαινῶν ὡς ἱκανοὺς εὑρεῖν δόγματα τοὺς βαρβάρους. Προστίθησι δὲ τούτοις, ὅτι κρῖναι καὶ βεβαιώσασθαι καὶ ἀσκῆσαι πρὸς ἀρετὴν τὰ ὑπὸ βαρβάρων εὑρεθέντα, ἀμείνονές εἰσιν Ἕλληνες. Τοῦτ' οὖν ἡμῖν ἐστιν ἐκ τῶν ὑπ' αὐτοῦ λεγομένων, εἰς ἀπολογίαν περὶ τῶν ἐν Χριστιανισμῷ κειμένων, ὄντων ἀληθῶν· ὅτι ἀπὸ Ἑλληνικῶν τις δογμάτων καὶ γυμνασίων ἐλθὼν ἐπὶ τὸν λόγον, οὐ μόνον κρίνοι ἂν αὐτὰ(1) ἀληθῆ, ἀλλὰ καὶ ἀσκήσας κατασκευάσαι ἂν, καὶ τὸ δοκοῦν ἐλλιπὲς, ὡς πρὸς Ἑλληνικὴν ἀπόδειξιν, ἀναπληρῶσαι, κατασκευάζων τὴν Χριστιανισμοῦ ἀληθότητα. Λεκτέον δ' ἔτι πρὸς τοῦτο, ὅτι ἐστί τις οἰκεία ἀπόδειξις τοῦ λόγου, θειοτέρα παρὰ τὴν ἀπὸ διαλεκτικῆς Ἑλληνικήν. Ταύτην δὲ τὴν θειοτέραν ὁ ἀπόστολος ὀνομάζει ἀπόδειξιν(2) πνεύματος καὶ δυνάμεως· πνεύματος μὲν, διὰ τὰς προφητείας, ἱκανὰς πιστοποιῆσαι τὸν ἐντυγχάνοντα, μάλιστα εἰς τὰ περὶ τοῦ Χριστοῦ· δυνάμεως δὲ, διὰ τὰς τεραστίους δυνάμεις, ἃς κατασκευαστέον γεγονέναι καὶ ἐκ πολλῶν μὲν ἄλλων, καὶ ἐκ τοῦ ἴχνη δὲ αὐτῶν ἔτι σώζεσθαι παρὰ τοῖς κατὰ τὸ βούλημα τοῦ λόγου βιοῦσι.

3. Μετὰ ταῦτα περὶ τοῦ κρύφα Χριστιανοὺς τὰ ἀρέσκοντα ἑαυτοῖς ποιεῖν καὶ διδάσκειν εἰπὼν, καὶ ὅτι οὐ μάτην τοῦτο ποιοῦσιν, ἅτε διωθούμενοι τὴν ἐπηρτημένην αὐτοῖς δίκην τοῦ θανάτου· ὁμοιοῖ τὸν κίνδυνον κινδύνοις τοῖς συμβεβηκόσιν ἐπὶ φιλοσοφίᾳ ὡς Σωκράτει· ἐδύνατο λέγειν καὶ ὡς Πυθαγόρᾳ, καὶ ἄλλοις φιλοσόφοις. Λεκτέον δὲ πρὸς τοῦτο, ὅτι ἐπὶ Σωκράτει μὲν εὐθέως Ἀθηναῖοι μετενόησαν, καὶ οὐδὲν παρ-

(1) Guietus scribendum putat αὐτοῦ, et subaudit τὸν λόγον. R.
(2) Cf. 1 Cor. ii. 4.

ἔμεινεν αὐτοῖς περὶ αὐτοῦ πικρὸν, οὐδ' ἐπὶ Πυθαγόρᾳ. Οἱ γοῦν Πυθαγόρειοι ἐπὶ πλεῖον τὰς διατριβὰς συνεστήσαντο ἐν Ἰταλίᾳ, τῇ κληθείσῃ μεγάλῃ Ἑλλάδι· ἐπὶ δὲ Χριστιανοῖς ἡ Ῥωμαίων σύγκλητος βουλὴ, καὶ οἱ κατὰ καιρὸν βασιλεῖς, καὶ τὰ στρατιωτικὰ, καὶ οἱ δῆμοι, καὶ οἱ τῶν πιστευόντων συγγενεῖς προσπολεμήσαντες τῷ λόγῳ, ἐκώλυσαν ἂν αὐτὸν νικηθέντα ὑπὸ τῆς τῶν τοσούτων ἐπιβουλῆς, εἰ μὴ θείᾳ δυνάμει ὑπερέκυψε καὶ ὑπερανέβη, ὡς νικῆσαι ὅλον κόσμον αὐτῷ ἐπιβουλεύοντα.

4. Ἴδωμεν καὶ ὡς τὸν ἠθικὸν τόπον οἴεται διαβαλεῖν, τῷ κοινὸν εἶναι καὶ πρὸς τοὺς ἄλλους φιλοσόφους, ὡς οὐ σεμνόν τι καὶ καινὸν μάθημα. Πρὸς τοῦτο δὲ λεκτέον, ὅτι τοῖς εἰσάγουσι κρίσιν δικαίαν θεοῦ ἀποκέκλειστο ἂν ἡ ἐπὶ τοῖς ἁμαρτανομένοις δίκη, μὴ πάντων ἐχόντων κατὰ τὰς κοινὰς ἐννοίας πρόληψιν ὑγιῆ περὶ τοῦ ἠθικοῦ τόπου. Διόπερ οὐδὲν θαυμαστὸν, τὸν αὐτὸν θεὸν, ἅπερ ἐδίδαξε διὰ τῶν προφητῶν καὶ τοῦ σωτῆρος, ἐγκατεσπαρκέναι ταῖς ἁπάντων ἀνθρώπων ψυχαῖς· ἵν' ἀναπολόγητος ἐν τῇ θείᾳ κρίσει πᾶς ἄνθρωπος ᾖ, ἔχων τὸ βούλημα(1) τοῦ νόμου γραπτὸν ἐν τῇ ἑαυτοῦ καρδίᾳ· ὅπερ ᾐνίξατο ἐν ᾧ νομίζουσιν Ἕλληνες μύθῳ ὁ λόγος, ποιήσας τὸν θεὸν γεγραφέναι τῷ ἰδίῳ δακτύλῳ τὰς ἐντολὰς, καὶ Μωϋσεῖ δεδωκέναι, ἃς συνέτριψεν ἡ κακία τῶν μοσχοποιησάντων, ὡς εἰ ἔλεγεν, ἐπέκλυσεν ἡ χύσις τῆς ἁμαρτίας. Δεύτερον δὲ γράψας, πάλιν ἔδωκε λατομήσαντος λίθους Μωσέως ὁ θεὸς, οἱονεὶ τοῦ προφητικοῦ λόγου εὐτρεπίζοντος ψυχὴν, μετὰ τὴν πρώτην ἁμαρτίαν, δευτέροις γράμμασι τοῦ θεοῦ.

5. Τὰ δὲ περὶ τῆς εἰδωλολατρίας, ὡς ἴδια τῶν ἀπὸ τοῦ λόγου ἐκτιθέμενος, καὶ ὑποκατασκευάζει, λέγων, αὐτοὺς διὰ τοῦτο μὴ νομίζειν αὐτοὺς(2) χειροποιήτους θεοὺς, ἐπεὶ μὴ εὔλογόν ἐστι τὰ ὑπὸ φαυλοτάτων δημιουργῶν καὶ μοχθηρῶν τὸ ἦθος εἰργασμένα, εἶναι θεοὺς, πολλάκις καὶ ὑπὸ ἀδίκων ἀνθρώπων κατασκευασθέντα. Ἐν τοῖς ἑξῆς οὖν θέλων αὐτὸ κοινοποιῆσαι, ὡς οὐ πρῶτον ὑπὸ τούτου εὑρεθὲν, ἐκτίθεται

(1) Edd. Spenc. ad marg. τὸ ἔργον. Cf. Rom. ii. 15.
(2) Legendum videtur cum Boherello, μὴ νομίζειν τοὺς χειροποιήτους θεούς. R.

Ἡρακλείτου λέξιν, τὴν λέγουσαν· „ὅμοια, ὡς εἴ τις τοῖς δόμοις λεσχηνεύοιτο, ποιεῖν τοὺς προσιόντας ὡς θεοῖς τοῖς ἀψύχοις." Οὐκοῦν καὶ περὶ τούτου λεκτέον, ὅτι ὁμοίως τῷ ἄλλῳ ἠθικῷ τόπῳ ἐγκατεσπάρησαν τοῖς ἀνθρώποις ἔννοιαι, ἀφ' ὧν καὶ ὁ Ἡράκλειτος, καὶ εἴ τις ἄλλος Ἑλλήνων ἢ βαρβάρων τοῦτ' ἐνενόησε κατασκευάσαι. Ἐκτίθεται γὰρ καὶ Πέρσας τοῦτο φρονοῦντας, παρατιθέμενος Ἡρόδοτον ἱστοροῦντα αὐτό. Προσθήσομεν δὲ καὶ ἡμεῖς, ὅτι καὶ Ζήνων ὁ Κιττιεὺς ἐν τῇ Πολιτείᾳ φησίν· „ἱερά τε οἰκοδομεῖν οὐδὲν δεήσει· ἱερὸν γὰρ οὐδὲν χρὴ νομίζειν, οὐδὲ πολλοῦ ἄξιον καὶ ἅγιον, οἰκοδόμων τε ἔργον καὶ βαναύσων." Σαφὲς οὖν, ὅτι καὶ περὶ τούτου τοῦ δόγματος γέγραπται ἐν ταῖς καρδίαις τῶν ἀνθρώπων γράμμασι θεοῦ τὸ πρακτέον.

6. Μετὰ ταῦτα οὐκ οἶδα πόθεν κινούμενος ὁ Κέλσος φησὶ, δαιμόνων τινῶν ὀνόμασι καὶ κατακηλήσεσι(1) δοκεῖν ἰσχύειν Χριστιανούς· ὡς οἶμαι, αἰνισσόμενος τὰ περὶ τῶν κατεπᾳδόντων τοὺς δαίμονας καὶ ἐξελαυνόντων. Ἔοικε δὲ σαφῶς συκο-
M. Dal. 311 B. φαντεῖν τὸν λόγον. Οὐ γὰρ κατακλήσεσιν ἰσχύειν δοκοῦσιν, ἀλλὰ τῷ ὀνόματι Ἰησοῦ μετὰ τῆς ἀπαγγελίας τῶν περὶ αὐτὸν ἱστοριῶν. Ταῦτα γὰρ λεγόμενα πολλάκις τοὺς δαίμονας πεποίηκεν ἀνθρώπων χωρισθῆναι, καὶ μάλισθ', ὅταν οἱ λέγοντες ἀπὸ διαθέσεως ὑγιοῦς καὶ πεπιστευκυίας γνησίως αὐτὰ λέγωσι. Τοσοῦτον μέν γε δύναται τὸ ὄνομα τοῦ Ἰησοῦ(2) κατὰ τῶν δαιμόνων, ὡς ἔσθ' ὅτε καὶ ὑπὸ φαύλων ὀνομαζόμενον ἀνύειν· ὅπερ διδάσκων ὁ Ἰησοῦς, ἔλεγε· „πολλοὶ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· τῷ ὀνόματί σου δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις ἐποιήσαμεν." Τοῦτο δ' οὐκ οἶδα πότερον ἑκὼν παρεῖδε καὶ κακουργεῖ ὁ Κέλσος, ἢ μὴ ἐπιστάμενος. Κατηγορεῖ δ' ἐν τοῖς ἑξῆς καὶ τοῦ σωτῆρος, ὡς γοητείᾳ δυνηθέντος ἃ ἔδοξε παράδοξα πεποιηκέναι, καὶ προϊδόντος, ὅτι μέλλουσι καὶ ἄλλοι τὰ αὐτὰ μαθήματα ἐγνωκότες ποιεῖν τὸ αὐτὸ, σεμνυνόμενοι τῷ θεοῦ δυνάμει ποιεῖν· οὕς τινας ἀπελαύνει τῆς ἑαυτοῦ πολι-

(1) Sic omnes Codd. MSS. exc. Joliano, qui in textu cum Hœschelio habet: κατακλήσεσι. R. Edd. Spenc. ad marg. κατακλήσεσι. L.

(2) Cod. Regius: τὸ ὄνομα Ἰησοῦ τοῦ Θεοῦ. R.

τείας ὁ Ἰησοῦς. Καὶ κατηγορεῖ αὐτοῦ, ὅτι εἰ δικαίως ἀπελαύνει, καὶ αὐτὸς ἔνοχος ὢν τοῖς αὐτοῖς, φαῦλός ἐστιν· εἰ δ' αὐτὸς οὐ φαῦλος ταῦτα ποιήσας, οὐδ' οἱ ὁμοίως αὐτῷ πράττοντες. Ἄντικρυς δὲ, κἂν δοκῇ ἀνέλεγκτον εἶναι τὸ περὶ τοῦ Ἰησοῦ, πῶς ταῦτα ἐποίησε· σαφὲς, ὅτι Χριστιανοὶ οὐδεμιᾷ μελέτῃ ἐπῳδῶν χρώμενοι, ἐντυγχάνουσι· ἀλλὰ τῷ ὀνόματι τοῦ Ἰησοῦ, καὶ ἄλλων λόγων πεπιστευμένων κατὰ τὴν θείαν γραφήν.

7. Εἶτ' ἐπεὶ πολλάκις ὀνομάζει κρύφιον τὸ δόγμα, καὶ ἐν τούτῳ αὐτὸν ἐλεγκτέον· σχεδὸν παντὸς τοῦ κόσμου ἐγνωκότος τὸ κήρυγμα Χριστιανῶν μᾶλλον, ἢ τὰ τοῖς φιλοσόφοις ἀρέσκοντα. Τίνα γὰρ λανθάνει ἡ ἐκ παρθένου γέννησις Ἰησοῦ, καὶ ὁ ἐσταυρωμένος, καὶ ἡ παρὰ πολλοῖς πεπιστευμένη ἀνάστασις αὐτοῦ, καὶ ἡ καταγγελλομένη κρίσις, κολάζουσα μὲν κατ' ἀξίαν τοὺς ἁμαρτάνοντας, γέρως δ' ἀξιοῦσα τοὺς δικαίους; Ἀλλὰ καὶ μὴν(1) νοηθὲν τὸ περὶ τῆς ἀναστάσεως μυστήριον, θρυλλεῖται γελώμενον ὑπὸ τῶν ἀπίστων. Ἐπὶ τούτοις οὖν λέγειν κρύφιον εἶναι τὸ δόγμα, πάνυ ἐστὶν ἄτοπον· τὸ δ' εἶναί τινα οἷον μετὰ τὰ ἐξωτερικὰ, μὴ εἰς τοὺς πολλοὺς φθάνοντα, οὐ μόνον ἴδιον τοῦ Χριστιανῶν λόγου, ἀλλὰ γὰρ καὶ τοῦ φιλοσόφων· παρ' οἷς τινες μὲν ἦσαν ἐξωτερικοὶ λόγοι, ἕτεροι δὲ ἐσωτερικοί. Καί τινες μὲν ἀκούοντες Πυθαγόρᾳ(2) ὡς "αὐτὸς ἔφα·" ἄλλοι δ' ἐν ἀποῤῥήτῳ διδασκόμενοι τὰ μὴ ἄξια φθάνειν εἰς ἀκοὰς βεβήλους καὶ μηδέπω κεκαθαρμένας. Καὶ πάντα δὲ τὰ πανταχοῦ μυστήρια κατὰ τὴν Ἑλλάδα καὶ τὴν βάρβαρον, κρύφια ὄντα οὐ διαβέβληται· διόπερ μάτην μηδὲ νοήσας ἀκριβῶς τὸ κρύφιον τοῦ Χριστιανισμοῦ, διαβάλλει αὐτό.

8. Ἔοικε δὲ μετὰ δεινότητος συναγορεύειν πως τοῖς μαρτυροῦσι τῷ Χριστιανισμῷ μέχρι θανάτου, λέγων· "Καὶ οὐ τοῦτο λέγω, ὡς χρὴ τὸν ἀγαθοῦ δόγματος περιεχόμενον, εἰ μέλλει δι' αὐτὸ κινδυνεύειν παρ' ἀνθρώποις, ἀποστῆναι τοῦ δόγματος, ἢ πλάσασθαι ὡς ἀφέστηκεν, ἢ ἔξαρνον γενέσθαι."

(1) Lego, καὶ μὴ νοηθέν. B.
(2) Qu. Πυθαγόρᾳ ?

Καὶ καταγινώσκει γε τῶν φρονούντων μὲν τὰ Χριστιανισμοῦ, προσποιουμένων δὲ μὴ φρονεῖν, ἢ ἀρνουμένων, λέγων· "μὴ δεῖν τὸν ἐν τῷ δόγματι πλάσασθαι ὡς ἀφέστηκεν, ἢ ἔξαρνον αὐτοῦ γενέσθαι." Ἐλεγκτέον δὴ ὡς τὰ ἐναντία ἑαυτῷ λέγοντα τὸν Κέλσον. Εὑρίσκεται μὲν γὰρ ἐξ ἄλλων συγγραμμάτων Ἐπικούρειος ὤν· ἐνταῦθα δὲ, διὰ τὸ δοκεῖν εὐλογώτερον κατηγορεῖν τοῦ λόγου, μὴ ὁμολογῶν τὰ Ἐπικούρου, προσποιεῖται κρεῖττόν τι τοῦ γηΐνου εἶναι ἐν ἀνθρώπῳ συγγενὲς θεοῦ, καί φησιν· "ὅτι οἷς τοῦτο εὖ ἔχει," τουτέστιν ἡ ψυχὴ, "πάντη ἐφίεται[1] τοῦ συγγενοῦς," λέγει δὲ τοῦ θεοῦ, "καὶ ἀκούειν ἀεί τι καὶ ἀναμιμνήσκεσθαι περὶ ἐκείνου ποθοῦσιν." Ὅρα οὖν τὸ νόθον αὐτοῦ τῆς ψυχῆς, ὅτι προειπὼν, ὡς "χρὴ τὸν ἀγαθοῦ δόγματος περιεχόμενον, καὶ εἰ μέλλει δι' αὐτὸ κινδυνεύειν παρ' ἀνθρώποις, μὴ ἀφίστασθαι τοῦ δόγματος, μηδὲ πλάσασθαι ὡς ἀφέστηκε, μηδ' ἔξαρνον γενέσθαι," αὐτὸς τοῖς ἐναντίοις πᾶσι περιπίπτει. Ἤιδει γὰρ, ὅτι ὁμολογῶν Ἐπικούρειος εἶναι, οὐκ ἂν ἔχοι τὸ ἀξιόπιστον ἐν τῷ κατηγορεῖν τῶν ὅπως ποτὲ πρόνοιαν εἰσαγαγόντων, καὶ θεὸν ἐφιστάντων τοῖς οὖσι. Δύο δὲ παρειλήφαμεν Κέλσους γεγονέναι Ἐπικουρείους· τὸν μὲν πρότερον, κατὰ Νέρωνα· τοῦτον δὲ, κατὰ Ἀδριανὸν, καὶ κατωτέρω.

9. Μετὰ ταῦτα προτρέπει ἐπὶ τὸ λόγῳ ἀκολουθοῦντας καὶ λογικῷ ὁδηγῷ, παραδέχεσθαι δόγματα· ὡς πάντως ἀπάτης γινομένης τῷ μὴ οὕτω συγκατατιθεμένῳ τισί· καὶ ἐξομοιοῖ τοὺς ἀλόγως πιστεύοντας Μητραγύρταις[2], καὶ τερατοσκόποις[3], Μίθραις[4] τε καὶ Σαββαδίοις[5], καὶ ὅτῳ τις προσέτυχεν, Ἑκάτης, ἢ ἄλλης δαίμονος, ἢ δαιμόνων φάσμασιν. Ὡς γὰρ ἐν ἐκείνοις πολλάκις μοχθηροὶ ἄνθρωποι ἐπιβαίνοντες τῇ ἰδιωτείᾳ τῶν εὐεξαπατήτων, ἄγουσιν αὐτοὺς ᾗ βούλονται· οὕτω φησὶ καὶ ἐν τοῖς Χριστιανοῖς γίγνεσθαι. Φησὶ δέ "τινας μηδὲ βουλομέ-

(1) Guieto scribendum videtur ἐφίενται. R.
(2) De his vid. Clem. Alex. Protreptic.
(3) Cf. Deut. xviii. et Zach. iii.
(4) Cf. Justin. Martyr. Apolog. II. et Colloq. cum Tryphone.
(5) Philocal. Σαβαζίοις. R. Cf. Clem. Alex. Protreptic.

νους διδόναι ἢ λαμβάνειν λόγον περὶ ὧν πιστεύουσι, χρῆσθαι τῷ· "μὴ ἐξέταζε, ἀλλὰ πίστευσον" καὶ "ἡ πίστις σου σώσει σε." Καί φησιν αὐτοὺς λέγειν· "κακὸν ἡ ἐν τῷ βίῳ σοφία, ἀγαθὸν δ' ἡ μωρία." Λεκτέον δὲ πρὸς τοῦτο, ὅτι εἰ μὲν οἷόν τε πάντας καταλιπόντας τὰ τοῦ βίου πράγματα σχολάζειν τῷ φιλοσοφεῖν, ἄλλην ὁδὸν οὐ μεταδιωκτέον οὐδενὶ, ἢ ταύτην μόνην. Εὑρεθήσεται γὰρ καὶ ἐν τῷ Χριστιανισμῷ οὐκ ἐλάττων, ἵνα μὴ φορτικόν τι εἴπω, ἐξέτασις τῶν πεπιστευμένων, καὶ διήγησις τῶν ἐν τοῖς προφήταις αἰνιγμάτων, καὶ τῶν ἐν τοῖς εὐαγγελίοις παραβολῶν, καὶ ἄλλων μυρίων συμβολικῶς γεγενημένων, ἢ νενομοθετημένων. Εἰ δὲ τοῦτ' ἀμήχανον, πῆ μὲν διὰ τὰς τοῦ βίου ἀνάγκας, πῆ δὲ καὶ διὰ τὴν τῶν ἀνθρώπων ἀσθένειαν, σφόδρα ὀλίγων ἐπὶ τὸν λόγον ᾀττόντων· ποία ἂν ἄλλη βελτίων μέθοδος πρὸς τὸ τοῖς πολλοῖς βοηθῆσαι εὑρεθείη, τῆς ἀπὸ τοῦ Ἰησοῦ τοῖς ἔθνεσι παραδοθείσης; Καὶ πυνθανόμεθά(1) γε περὶ τοῦ πλήθους τῶν πιστευόντων, τὴν πολλὴν χύσιν τῆς κακίας ἀποθεμένων, ἐν ᾗ πρότερον ἐκαλινδοῦντο· πότερον βέλτιόν ἐστιν αὐτοῖς ἀλόγως πιστεύουσι κατεστάλθαι πως τὰ ἤθη καὶ ὠφελῆσθαι, διὰ τὴν περὶ τῶν κολαζομένων ἐπὶ ἁμαρτίαις, καὶ τιμωμένων ἐπὶ ἔργοις χρηστοῖς πίστιν, ἢ μὴ προσίεσθαι αὐτῶν τὴν ἐπιστροφὴν μετὰ ψιλῆς πίστεως, ἕως ἂν ἐπιδῶσιν ἑαυτοὺς ἐξετάσει λόγων; Φανερῶς γὰρ οἱ πάντες παρ' ἐλαχίστους οὐδὲ τοῦτο λήψονται, ὅπερ εἰλήφασιν, ἐκ τοῦ ἁπλῶς πεπιστευκέναι· ἀλλὰ μενοῦσιν ἐν κακίστῳ βίῳ. Εἴπερ οὖν ἄλλο τι κατασκευαστικόν ἐστι τοῦ, τὸ φιλάνθρωπον τοῦ λόγου οὐκ ἀθεεὶ τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδεδημηκέναι· καὶ τοῦτ' αὐτοῖς συγκαταριθμητέον. Ὁ γὰρ εὐλαβὴς οὐδὲ σωμάτων ἰατρὸν, πολλοὺς ἐπὶ τὸ βέλτιον νοσοῦντας ἀγαγόντα, οἰήσεται ἀθεεὶ πόλεσι καὶ ἔθνεσιν ἐπιδημεῖν· οὐδὲν γὰρ χρηστὸν ἐν ἀνθρώποις ἀθεεὶ γίγνεται. Εἰ δὲ ὁ πολλῶν σώματα θεραπεύσας, ἢ ἐπὶ τὸ βέλτιον προαγαγὼν, οὐκ ἀθεεὶ θεραπεύει· πόσῳ πλέον ὁ πολλῶν ψυχὰς θεραπεύσας, καὶ ἐπιστρέψας, καὶ βελτιώσας, καὶ ἀπαρτήσας αὐτὰς θεοῦ τοῦ ἐπὶ πᾶσι, καὶ διδάξας πᾶσαν πρᾶξιν ἀναφέρειν ἐπὶ

(1) Lego πυνθανώμεθα. R.

τὴν ἐκείνου ἀρέσκειαν, καὶ πάντ' ἐκκλίνειν, ὅσ' ἀπάρεστά ἐστι θεῷ, καὶ μέχρι τοῦ ἐλαχίστου τῶν λεγομένων, ἢ πραττομένων, ἢ καὶ εἰς ἐνθύμησιν ἐρχομένων;

10. Εἶτ', ἐπεὶ τὰ περὶ τῆς πίστεως θρυλλοῦσι, λεκτέον, ὅτι ἡμεῖς μὲν, παραλαμβάνοντες αὐτὴν ὡς χρήσιμον τοῖς πολλοῖς, ὁμολογοῦμεν διδάσκειν πιστεύειν καὶ ἀλόγως, τοὺς μὴ δυναμένους πάντα καταλιπεῖν, καὶ ἀκολουθεῖν ἐξετάσει λόγου· ἐκεῖνοι δὲ τοῦτο μὴ ὁμολογοῦντες, τοῖς ἔργοις αὐτὸ ποιοῦσι. Τίς γὰρ προτραπεὶς ἐπὶ φιλοσοφίαν, καὶ ἀποκληρωτικῶς ἐπί τινα αἵρεσιν ἑαυτὸν φιλοσόφων ῥίψας, ἢ τῷ εὐπορηκέναι τοιοῦδε διδασκάλου, ἄλλως ἐπὶ τοῦτο ἔρχεται, ἢ τῷ πιστεύειν τὴν αἵρεσιν ἐκείνην κρείττονα εἶναι; Οὐ γὰρ περιμείνας ἀκοῦσαι τοὺς πάντων φιλοσόφων λόγους, καὶ τῶν διαφόρων αἱρέσεων, καὶ τὴν ἀνατροπὴν μὲν τῶνδε, κατασκευὴν δὲ ἑτέρων, οὕτως αἱρεῖται ἤτοι Στωϊκὸς, ἢ Πλατωνικὸς, ἢ Περιπατητικὸς, ἢ Ἐπικούρειος εἶναι, ἢ ὁποιασδήποτε φιλοσόφων αἱρέσεως· ἀλλ' ἀλόγῳ τινὶ, κἂν μὴ βούλωνται τοῦτο ὁμολογεῖν, φορᾷ ἔρχεται ἐπὶ τὸ ἀσκῆσαι, (φέρ' εἰπεῖν), τὸν Στωϊκὸν λόγον, καταλιπών τε τοὺς λοιπούς· ἢ τὸν Πλατωνικὸν ὑπερφρονήσας, ὡς ταπεινότερον τῶν ἄλλων, ἢ τὸν Περιπατητικὸν, ὡς ἀνθρωπικώτερον, καὶ μᾶλλον τῶν λοιπῶν αἱρέσεων εὐγνωμόνως ὁμολογοῦντα τὰ ἀνθρώπινα ἀγαθά. Καὶ ἀπὸ πρώτης δὲ προσβολῆς ταραχθέντες τινὲς εἰς τὸν περὶ προνοίας λόγον, ἐκ τῶν ἐπὶ γῆς γενομένων[1] φαύλοις καὶ σπουδαίοις, προπετέστερον συγκατέθεντο τῷ μηδαμῶς εἶναι πρόνοιαν, καὶ τὸν Ἐπικούρου καὶ Κέλσου εἵλοντο λόγον.

11. Εἴπερ οὖν δεῖ πιστεύειν, ὡς ὁ λόγος ἐδίδαξεν, ἑνί τινι τῶν αἱρέσεις εἰσηγησαμένων ἐν Ἕλλησιν ἢ βαρβάροις· πῶς οὐχὶ μᾶλλον τῷ ἐπὶ πᾶσι θεῷ, καὶ τῷ διδάσκοντι τοῦτον μόνον δεῖν σέβειν, τὰ δὲ λοιπὰ, ἤτοι ὡς μὴ ὄντα, ἢ ὡς ὄντα μὲν, καὶ τιμῆς ἄξια, οὐ μὴν καὶ προσκυνήσεως καὶ σεβασμοῦ, παρορᾷν; Περὶ ὧν ὁ μὴ πιστεύων μόνον, ἀλλὰ καὶ λόγῳ θεωρῶν τὰ πράγματα, ἐρεῖ τὰς ὑποπιπτούσας αὐτῷ, καὶ εὑρισκομένας ἐκ τοῦ πάνυ ζητεῖν ἀποδείξεις. Πῶς δ' οὐκ εὐλογώ-

(1) Philocal. γινομένων.

τερον, πάντων τῶν ἀνθρωπίνων πίστεως ἠρτημένων, ἐκείνων μᾶλλον πιστεύειν τῷ θεῷ; Τίς γὰρ πλεῖ, ἢ γαμεῖ, ἢ παιδοποιεῖται, ἢ ῥίπτει τὰ σπέρματα ἐπὶ τὴν γῆν, μὴ τὰ κρείττονα πιστεύων ἀπαντήσεσθαι, δυνατοῦ ὄντος καὶ τοῦ ἐναντία γενέσθαι, καὶ ἔστιν ὅτε γινομένου; Ἀλλ' ὅμως ἡ περὶ τοῦ τὰ κρείττονα καὶ τὰ κατ' εὐχὴν ἀπαντήσεσθαι πίστις τολμᾷν πάντας ποιεῖ, καὶ ἐπὶ τὰ ἄδηλα καὶ δυνατὰ ἄλλως συμβῆναι. Εἰ δὲ συνέχει τὸν βίον ἐν πάσῃ πράξει ἀδήλῳ, ὅπως ἐκβήσεται, ἡ ἐλπὶς καὶ ἡ περὶ τῶν μελλόντων χρηστοτέρα πίστις· πῶς οὐ μᾶλλον αὕτη παραληφθήσεται εὐλόγως τῷ πιστεύοντι ὑπὲρ τὴν πλεομένην θάλασσαν, καὶ γῆν σπειρομένην, καὶ γυναῖκα γαμουμένην, καὶ τὰ λοιπὰ ἐν ἀνθρώποις πράγματα, τῷ ταῦτα πάντα δημιουργήσαντι θεῷ, καὶ τῷ μετὰ ὑπερβαλλούσης μεγαλονοίας καὶ θείας μεγαλοφροσύνης τολμήσαντι τοῦτον τὸν λόγον παραστῆσαι τοῖς πανταχοῦ τῆς οἰκουμένης, μετὰ μεγάλων κινδύνων καὶ θανάτου νομιζομένου ἀτίμου, ἃ ὑπέμεινεν ὑπὲρ ἀνθρώπων· διδάξας καὶ τοὺς ὑπηρετεῖσθαι τῇ διδασκαλίᾳ αὐτοῦ ἐν τῇ ἀρχῇ πεισθέντας, μετὰ πάντων κινδύνων καὶ τῶν ἀεὶ προσδοκωμένων θανάτων, τολμῆσαι ἀποδημῆσαι πανταχοῦ τῆς οἰκουμένης ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας;

12. Εἶτ' ἐπεί φησιν ὁ Κέλσος αὐταῖς λέξεσιν· "Εἰ μὲν δὴ θελήσουσιν ἀποκρίνεσθαί μοι, ὡς οὐ διαπειρωμένῳ, πάντα γὰρ οἶδα, ἀλλ' ὡς ἐξ ἴσου πάντων κηδομένῳ, εὖ ἂν ἔχοι· εἰ δ' οὐκ ἐθελήσουσιν, ἀλλ' ἐροῦσιν, ὥσπερ εἰώθασι· "μὴ ἐξέταζε," καὶ τὰ ἑξῆς· "ἀνάγκη αὐτοὺς ταῦτά τε(1)," φησὶ, "διδάξαι ὁποῖ' ἄττα ἐστὶν, ἃ λέγουσι, καὶ ὁπόθεν ἐῤῥύηκε," καὶ τὰ ἑξῆς. Λεκτέον δὲ πρὸς τό· "πάντα γὰρ οἶδα·" ἀλαζονικώτατα ὑπ' αὐτοῦ ἀποτετολμημένον· ὅτι, εἴπερ ἀνεγνώκει μάλιστα τοὺς προφήτας, ὁμολογουμένων αἰνιγμάτων πεπληρωμένους, καὶ λόγων τοῖς πολλοῖς ἀσαφῶν· καὶ εἰ ἐντετύχει ταῖς εὐαγγελικαῖς παραβολαῖς, καὶ τῇ λοιπῇ τοῦ νόμου καὶ τῆς Ἰουδαϊκῆς ἱστορίας γραφῇ, καὶ ταῖς τῶν ἀποστόλων φωναῖς· καὶ ἀναγνοὺς εὐγνωμόνως ἐβούλετο εἰσ-

(1) Boherellus legit, τοῦτό γε; quod probo. R.

ελθεῖν εἰς τὸν τῶν λέξεων νοῦν, οὐκ ἂν οὕτως ἐθρασύνετο, οὐδ᾽ εἶπε· "πάντα γὰρ οἶδα." Ὡς οὐδ᾽ ἡμεῖς, οἱ τούτοις ἐνδιατρίψαντες, εἴποιμεν ἄν· "πάντα γὰρ οἶδα·" φίλη γὰρ ἡ ἀλήθεια. Οὐδεὶς ἡμῶν ἐρεῖ· πάντα γὰρ οἶδα τὰ Ἐπικούρου· ἢ θαῤῥήσει, ὅτι πάντα οἶδε τὰ Πλάτωνος· τοσούτων οὐσῶν διαφωνιῶν καὶ παρὰ τοῖς διηγουμένοις αὐτά. Τίς γὰρ οὕτω θρασὺς εἰπεῖν· πάντα γὰρ οἶδα τὰ Στωϊκὰ, ἢ πάντα τὰ Περιπατητικά; Εἰ μὴ ἄρα τό· "πάντα γὰρ οἶδα·" ἀπό τινων ἰδιωτῶν ἀναισθήτων ἀκούσας, οὐκ αἰσθανομένων τῆς ἑαυτῶν ἀμαθίας, ᾠήθη ὡς τοιούτοις[1] διδασκάλοις χρησάμενος πάντα ἐγνωκέναι. Δοκεῖ δέ μοι τοιοῦτόν τι πεποιηκέναι, ὡς εἴ τις τῇ Αἰγύπτῳ ἐπιδημήσας, ἔνθα οἱ μὲν Αἰγυπτίων σοφοὶ κατὰ τὰ πάτρια γράμματα πολλὰ φιλοσοφοῦσι περὶ τῶν παρ᾽ αὐτοῖς νενομισμένων θείων[2], οἱ δὲ ἰδιῶται μύθους τινὰς ἀκούσαντες[3], ὧν τοὺς λόγους οὐκ ἐπίστανται, μέγα ἐπ᾽ αὐτοῖς φρονοῦσιν· ᾤετο πάντα τὰ Αἰγυπτίων ἐγνωκέναι, τοῖς ἰδιώταις αὐτῶν μαθητεύσας, καὶ μηδενὶ τῶν ἱερέων συμμίξας, μηδ᾽ ἀπό τινος αὐτῶν τὰ Αἰγυπτίων ἀπόῤῥητα μαθών. Ἃ δ᾽ εἶπον περὶ Αἰγυπτίων σοφῶν τε καὶ ἰδιωτῶν, δυνατὸν εἰπεῖν καὶ περὶ Περσῶν· παρ᾽ οἷς εἰσι τελεταὶ, πρεσβευόμεναι μὲν λογικῶς ὑπὸ τῶν παρ᾽ αὐτοῖς λογίων, συμβολικῶς δὲ γινόμεναι ὑπὸ τῶν παρ᾽ αὐτοῖς πολλῶν καὶ ἐπιπολαιοτέρων. Τὸ δ᾽ αὐτὸ καὶ περὶ Σύρων, καὶ Ἰνδῶν, καὶ τῶν ὅσοι καὶ μύθους καὶ γράμματα ἔχουσι, λεκτέον.

13. Ἐπεὶ δ᾽ ὁ Κέλσος ἔθηκεν ὡς λεγόμενον ὑπὸ πολλῶν Χριστιανῶν· "κακὸν μέν γε ἡ ἐν τῷ βίῳ σοφία, ἀγαθὸν δὲ ἡ μωρία·" λεκτέον, ὅτι συκοφαντεῖ τὸν λόγον, μὴ ἐκθέμενος αὐτὴν τὴν παρὰ τῷ Παύλῳ κειμένην λέξιν οὕτως ἔχουσαν· "εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου, μωρία παρὰ τῷ θεῷ ἐστιν[4]." Οὐκοῦν ὁ μὲν ἀπόστολός φησιν,

(1) Cod. Jolianus ad oram, τούτοις.
(2) Philoc. θεῶν.
(3) Codd. Reg. et Basil. (itemque Philoc.) ἀκούοντες.
(4) 1 Cor. iii. 18, 19.

οὐχ ἁπλῶς· "ἡ σοφία μωρία παρὰ τῷ θεῷ ἐστιν·" ἀλλ'· "ἡ σοφία τοῦ κόσμου τούτου." Καὶ πάλιν· οὐκ, "εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν," ἀπαξαπλῶς "μωρὸς γενέσθω·" ἀλλ'· "ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός." Σοφίαν οὖν τούτου τοῦ αἰῶνος λέγομεν, τὴν κατὰ τὰς γραφὰς καταργουμένην πᾶσαν ψευδοδοξοῦσαν φιλοσοφίαν· καὶ μωρίαν λέγομεν ἀγαθὴν[1], οὐκ ἀπολελυμένως, ἀλλ' ὅτε τις τῷ αἰῶνι τούτῳ γίνεται μωρός· ὡς εἰ λέγοιμεν καὶ τὸν Πλατωνικὸν, πιστεύοντα τῇ ἀθανασίᾳ τῆς ψυχῆς, καὶ τοῖς περὶ αὐτῆς λεγομένοις περὶ μετενσωματώσεως, μωρίαν ἀνειληφέναι, ὡς πρὸς τοὺς Στωϊκοὺς, διασύροντας τὴν τούτων συγκατάθεσιν· καὶ ὡς πρὸς Περιπατητικοὺς, θρυλλοῦντας τὰ Πλάτωνος τερετίσματα· καὶ ὡς πρὸς Ἐπικουρείους, δεισιδαιμονίαν ἐγκαλοῦντας τοῖς εἰσάγουσι πρόνοιαν, καὶ θεὸν ἐφιστᾶσι τοῖς ὅλοις. Ἔτι δὲ ὅτι καὶ κατὰ τὸ τῷ λόγῳ ἀρέσκον, πολλῷ διαφέρει μετὰ λόγου καὶ σοφίας συγκατατίθεσθαι τοῖς δόγμασιν, ἤπερ μετὰ ψιλῆς τῆς πίστεως· καὶ ὅτι κατὰ περίστασιν καὶ τοῦτ' ἐβουλήθη ὁ λόγος, ἵνα μὴ πάντη ἀνωφελεῖς ἐάσῃ τοὺς ἀνθρώπους· δηλοῖ ὁ τοῦ Ἰησοῦ γνήσιος μαθητὴς Παῦλος, εἰπών· "ἐπειδὴ[2] γὰρ ἐν τῇ σοφίᾳ τοῦ θεοῦ οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας τὸν θεὸν, εὐδόκησεν ὁ θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας." Σαφῶς οὖν διὰ τούτων δηλοῦται, ὅτι ἐν τῇ σοφίᾳ τοῦ θεοῦ ἐχρῆν γινώσκεσθαι τὸν θεόν. Καὶ ἐπεὶ μὴ τοῦτο γεγένηται οὕτως, δεύτερον εὐδόκησεν ὁ θεὸς σῶσαι τοὺς πιστεύοντας, οὐχ ἁπαξαπλῶς διὰ μωρίας, ἀλλὰ διὰ μωρίας ὅσον ἐπὶ τῷ κηρύγματι. Αὐτόθεν γὰρ κηρυσσόμενος Ἰησοῦς Χριστὸς ἐσταυρωμένος, μωρία ἐστὶ κηρύγματος· ὡς καὶ ὁ συναισθόμενος αὐτοῦ λέγει Παῦλος, ἐν τῷ· "ἡμεῖς[3] δὲ κηρύσσομεν Ἰησοῦν Χριστὸν, ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν θεοῦ δύναμιν καὶ θεοῦ σοφίαν."

(1) Philoc. λέγομεν ἀγαθὸν οὐκ ἀπολελυμένον.
(2) 1 Cor. i. 21.
(3) 1 Cor. i. 23, 24.

14. Συγγένειαν παρὰ πολλοῖς τῶν ἐθνῶν νομίζων εἶναι ὁ Κέλσος τοῦ αὐτοῦ λόγου, πάντα μὲν ὀνομάζει τὰ ἔθνη, ὡς ἀρξάμενα τοῦ τοιοῦδε δόγματος· οὐκ οἶδα δ᾽ ὅπως μόνους Ἰουδαίους συκοφαντεῖ, οὐ συγκαταλέγων αὐτῶν τὸ ἔθνος τοῖς λοιποῖς, ὡς εἴτε συμφιλοπονήσαν ἐκείνοις καὶ ὁμοφρονήσαν, εἴτε παραπλήσια ἐν πολλοῖς δογμάτισαν. Ἄξιον οὖν αὐτὸν ἐρέσθαι, τί δήποτε ἱστορίαις μὲν βαρβάρων καὶ Ἑλλήνων πεπίστευκε περὶ τῆς ἀρχαιότητος ὧν ὠνόμασε, μόνου δὲ τοῦ ἔθνους τὰς ἱστορίας τούτου ψευδοποιεῖ; Εἰ γὰρ ἕκαστοι τὰ παρ᾽ αὐτοῖς ἐξέθεντο φιλαλήθως, τί τοῖς Ἰουδαίων ἀπιστοῦμεν μόνοις προφήταις; Εἰ δὲ κεχαρισμένως Μωϋσῆς καὶ οἱ προφῆται τῷ ἑαυτῶν λόγῳ πολλὰ ἀνέγραψαν περὶ τῶν παρὰ σφίσιν αὐτοῖς· διὰ τί τὸ παραπλήσιον οὐκ ἐροῦμεν καὶ περὶ τῶν ἐν τοῖς λοιποῖς ἔθνεσι συγγραφέων; Ἦ Αἰγύπτιοι μὲν ἐν ταῖς ἑαυτῶν ἱστορίαις Ἰουδαίους κακολογοῦντες πιστοί εἰσι περὶ Ἰουδαίων· ταῦτα(1) δὲ λέγοντες Ἰουδαῖοι περὶ Αἰγυπτίων, πολλὰ ἀδίκως πεπονθέναι ἀναγράφοντες ἑαυτοὺς, καὶ διὰ τοῦτο λέγοντες αὐτοὺς κεκολάσθαι ὑπὸ θεοῦ, ψεύδονται; Καὶ οὐ περὶ Αἰγυπτίων γε μόνων τοῦτο λεκτέον· εὑρήσομεν γὰρ ἐπιπλοκὴν Ἀσσυρίων πρὸς Ἰουδαίους, καὶ ταῦτα(2) ἱστορούμενα ἐν ταῖς Ἀσσυρίων ἀρχαιολογίαις. Οὕτω δὲ καὶ Ἀσσυρίους ἀνέγραψαν ἑαυτοῖς πολεμίους οἱ Ἰουδαίων συγγραφεῖς, ἵνα μὴ δόξω προλαμβάνων λέγειν τὸ, οἱ προφῆται. Ὅρα οὖν εὐθέως τὸ φίλαυτον τοῦ τοῖσδε μέν τισι πιστεύοντος, ὡς σοφοῖς ἔθνεσι· τῶνδε δὲ καταγινώσκοντος, ὡς πάντη ἀνοήτων. Ἄκουε γὰρ λέγοντος τοῦ Κέλσου· "ὅτι ἐστὶν ἀρχαῖος ἄνωθεν λόγος, περὶ ὃν δὴ ἀεὶ καὶ τὰ ἔθνη τὰ σοφώτατα, καὶ πόλεις, καὶ ἄνδρες σοφοὶ, κατεγένοντο." Καὶ οὐκ ἐβουλήθη ἔθνος σοφώτατον εἰπεῖν, κἂν παραπλησίως Αἰγυπτίοις καὶ Ἀσσυρίοις, καὶ Ἰνδοῖς, καὶ Πέρσαις, καὶ Ὀδρύσαις, καὶ Σαμόθραξι, καὶ Ἐλευσινίοις, τοὺς Ἰουδαίους.

15. Πόσῳ δὲ βελτίων Κέλσου, καὶ διὰ πολλῶν δείξας εἶναι ἐλλογιμώτατος, καὶ πλείονα βασανίσας δόγματα, καὶ

(1) Edd. Spenc. ταὐτὰ δέ.
(2) Lego cum Boherello; ταὐτά. L.

ἀπὸ πλειόνων συναγαγὼν ἃ ἐφαντάσθη εἶναι ἀληθῆ, ὁ Πυθαγόρειος Νουμήνιος, ὅστις ἐν τῷ πρώτῳ περὶ τἀγαθοῦ λέγων περὶ τῶν ἐθνῶν, ὅσα περὶ τοῦ θεοῦ ὡς ἀσωμάτου διείληφεν, ἐγκατέταξεν αὐτοῖς καὶ Ἰουδαίους· οὐκ ὀκνήσας ἐν τῇ συγγραφῇ αὐτοῦ χρήσασθαι καὶ λόγοις προφητικοῖς, καὶ τροπολογῆσαι αὐτούς. Λέγεται δὲ καὶ Ἕρμιππον ἐν τῷ πρώτῳ περὶ νομοθετῶν ἱστορηκέναι, Πυθαγόραν τὴν ἑαυτοῦ φιλοσοφίαν ἀπὸ Ἰουδαίων εἰς Ἕλληνας ἀγαγεῖν. Καὶ Ἑκαταίου δὲ τοῦ ἱστορικοῦ φέρεται περὶ Ἰουδαίων βιβλίον, ἐν ᾧ προστίθεται μᾶλλόν πως ὡς σοφῷ τῷ ἔθνει ἐπὶ τοσοῦτον, ὡς καὶ Ἑρέννιον Φίλωνα, ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι, πρῶτον μὲν ἀμφιβάλλειν, εἰ τοῦ ἱστορικοῦ ἐστι τὸ σύγγραμμα· δεύτερον δὲ λέγειν, ὅτι, εἴπερ ἐστὶν αὐτοῦ, εἰκὸς αὐτὸν συνηρπάσθαι ἀπὸ τῆς παρὰ Ἰουδαίοις πιθανότητος, καὶ συγκατατεθεῖσθαι αὐτῷ(1) τῷ λόγῳ.

16. Θαυμάζω δὲ, πῶς Ὀδρύσας μὲν, καὶ Σαμόθρακας, καὶ Ἐλευσινίους, καὶ Ὑπερβορέους, ἐν τοῖς ἀρχαιοτάτοις καὶ σοφωτάτοις ἔταξεν ἔθνεσιν ὁ Κέλσος, τοὺς δὲ Ἰουδαίους οὐκ ἠξίωσεν οὔτε εἰς σοφοὺς παραδέξασθαι, οὔτε εἰς ἀρχαίους· πολλῶν φερομένων συγγραμμάτων παρὰ Αἰγυπτίοις, καὶ Φοίνιξι, καὶ Ἕλλησι, μαρτυρούντων αὐτῶν τῇ ἀρχαιότητι· ἅπερ ἐγὼ περισσὸν ἡγησάμην εἶναι παραθέσθαι. Δυνατὸν γὰρ τὸν βουλόμενον ἀναγνῶναι τὰ γεγραμμένα Φλαυίῳ Ἰωσήπῳ περὶ τῆς τῶν Ἰουδαίων ἀρχαιότητος ἐν δυσίν· ὅπου πολλὴν συναγωγὴν συγγραφέων φέρει μαρτυρούντων τῇ Ἰουδαίων ἀρχαιότητι. Καὶ Τατιανοῦ δὲ νεωτέρου φέρεται ὁ πρὸς Ἕλληνας λόγος, πολυμαθέστατα ἐκτιθεμένου τοὺς ἱστορήσαντας περὶ τῆς Ἰουδαίων καὶ Μωσέως ἀρχαιότητος. Ἔοικεν οὖν οὐκ ἀληθῶς, ἀλλὰ φιλαπεχθημόνως, ὁ Κέλσος ταῦτα λέγειν· σκοπὸν ἔχων κατηγορῆσαι τῆς ἀρχῆς τοῦ Χριστιανισμοῦ, ἠρτημένης ἀπὸ Ἰουδαίων. Ἀλλὰ καὶ τοὺς μὲν Ὁμήρου Γαλακτοφάγους, καὶ τοὺς Γαλατῶν Δρυΐδας, καὶ τοὺς Γέτας, σοφώτατα λέγει ἔθνη εἶναι καὶ ἀρχαῖα, περὶ τῶν συγγενῶν τοῖς Ἰουδαϊκοῖς λόγοις διαλαμβάνοντας, ὧν οὐκ οἶδα εἰ φέρεται συγγράμματα·

(1) Forte scribendum αὐτῶν. Boherellus et Ruæus.

Ἑβραίους δὲ μόνον, τὸ ὅσον ἐφ' ἑαυτῷ, ἐκβάλλει καὶ τῆς ἀρχαιότητος καὶ τῆς σοφίας. Πάλιν τε αὖ κατάλογον ποιούμενος ἀνδρῶν ἀρχαίων καὶ σοφῶν, ὠφελησάντων τοὺς κατ' αὐτοὺς, καὶ διὰ συγγραμμάτων τοὺς μετ' αὐτοὺς, Μωϋσέα ἐξέβαλε τοῦ καταλόγου τῶν σοφῶν. Καὶ Λίνου μὲν, ὃν προέταξεν ἐν οἷς ὠνόμασεν ὁ Κέλσος, οὔτε νόμοι, οὔτε λόγοι φέρονται ἐπιστρέψαντες καὶ θεραπεύσαντες ἔθνη· Μωϋσέως δὲ τοὺς νόμους ὅλον ἔθνος φέρει ἐπεσπαρμένον τῇ πάσῃ οἰκουμένῃ. Ὅρα οὖν, εἰ μὴ ἄντικρυς κακουργῶν, ἐξέβαλε τοῦ καταλόγου τῶν σοφῶν καὶ Μωϋσέα· Λίνον δὲ καὶ Μουσαῖον, καὶ Ὀρφέα, καὶ τὸν Φερεκύδην, καὶ τὸν Πέρσην Ζωροάστρην, καὶ Πυθαγόραν φήσας περὶ τῶνδε διειληφέναι, καὶ ἐς βίβλους κατατεθεῖσθαι τὰ ἑαυτῶν δόγματα, καὶ πεφυλάχθαι αὐτὰ μέχρι δεῦρο. Καὶ ἑκὼν μὲν ἐπελάθετο τοῦ περὶ τῶν νομιζομένων θεῶν μύθου ὡς ἀνθρωποπαθῶν, ἀναγεγραμμένου μάλιστα ὑπὸ Ὀρφέως.

17. Ἐν δὲ τοῖς ἑξῆς κατηγορῶν τῆς Μωσέως ἱστορίας, αἰτιᾶται τοὺς τροπολογοῦντας, καὶ ἀλληγοροῦντας αὐτήν. Ἦν δ' ἂν εἰπεῖν πρὸς τὸν γενναιότατον, καὶ ἀληθῆ λόγον ἐπιγράψαντα τὸ ἑαυτοῦ βιβλίον, τί δήποτε, ὦ οὗτος, θεοὺς μὲν τηλικαύταις περιπίπτοντας συμφοραῖς, ὁποίας ἀναγράφουσιν οἱ σοφοί σου ποιηταὶ καὶ φιλόσοφοι, καὶ ἐναγέσι μίξεσι χρωμένους, καὶ κατὰ τῶν πατέρων στρατευομένους, καὶ τὰ αἰδοῖα αὐτῶν ἀποτέμνοντας, σεμνολογεῖς ἀναγεγράφθαι τὰ τηλικαῦτα τετολμηκέναι, καὶ πεποιηκέναι, καὶ πεπονθέναι· ὅταν δὲ Μωσῆς μὴ περὶ θεοῦ τοιαῦτα λέγῃ, ἀλλὰ μηδ' ἀγγέλων ἁγίων, περὶ δὲ ἀνθρώπων πολλῷ ἐλάττονα· (οὐδεὶς γὰρ παρ' αὐτῷ ἐτόλμησεν, ὅσα Κρόνος κατὰ τοῦ Οὐρανοῦ, οὐδὲ ὅσα Ζεὺς κατὰ τοῦ πατρός· οὐδ' ὅτι τῇ ἑαυτοῦ θυγατρὶ ὁ πατὴρ ἀνδρῶν τε θεῶν τε συνελήλυθε·) πλανᾷν νομίζεται ἠπατημένους τοὺς νενομοθετημένους ὑπ' αὐτοῦ; Δοκεῖ δέ μοι καὶ παραπλήσιόν τι Κέλσος ποιεῖν τῷ Πλατωνικῷ Θρασυμάχῳ, μὴ ἐπιτρέποντι ὡς βούλεται ἀποκρίνασθαι περὶ τῆς δικαιοσύνης Σωκράτει· ἀλλὰ λέγοντι· "ὅρα, μὴ τὸ συμφέρον εἴπῃς εἶναι τὸ δίκαιον, μηδὲ τὸ δέον, μηδ' ἄλλο τι τῶν παραπλη-

σίων. Καὶ γὰρ αὐτὸς κατηγορήσας, (ὡς οἴεται,) τῶν παρὰ Μωσεῖ ἱστοριῶν, καὶ μεμψάμενος τοῖς ἀλληγοροῦσι, μετὰ τοῦ καὶ ἔπαινόν τινα περὶ αὐτῶν λέγειν, ὅτι εἰσὶν οἱ ἐπιεικέστεροι· οἱονεὶ κωλύεται[1] κατηγορήσας, ὡς βούλεται[2], ἀπολογεῖσθαι τοὺς δυναμένους ὡς πέφυκεν ἔχειν τὰ πράγματα.

18. Εἴποιμεν δ' ἂν προκαλούμενοι βίβλους βίβλοις παραβάλλεσθαι, ὅτι φέρε, ὦ οὗτος, τὰ Λίνου, καὶ Μουσαίου, καὶ Ὀρφέως ποιήματα, καὶ Φερεκύδου τὴν γραφὴν, καὶ συνεξέταζε τοῖς Μωϋσέως νόμοις, ἱστορίας ἱστορίαις, καὶ ἠθικοὺς λόγους νόμοις καὶ προστάγμασι παρατιθείς· καὶ ὅρα, ὁποῖα μᾶλλον ἐπιστρέψαι δύναται καὶ αὐτόθεν τοὺς ἀκούοντας, καὶ τίνα αὐτῶν, κἂν ἐπιτρίψαι τὸν ἀκροατήν· καὶ κατανόει, ὅπως τὸ μὲν τάγμα τῶν σῶν συγγραφέων ὀλίγον μὲν ἐφρόντισε τῶν αὐτόθεν ἐντευξομένων, μόνοις δὲ ἄρα τοῖς τροπολογῆσαι καὶ ἀλληγορῆσαι δυναμένοις ἔγραψε τὴν ἰδίαν, (ὡς φῄς,) φιλοσοφίαν. Ὁ δὲ Μωσῆς ἀνάλογον γενναίῳ ῥήτορι σχῆμα μελετῶντι, καὶ πανταχοῦ τὴν διπλόην τῆς λέξεως πεφυλαγμένως προφερομένῳ, ἐπὶ τῶν πέντε βιβλίων πεποίηκε· μήτε τῷ πλήθει τῶν νομοθετουμένων Ἰουδαίων διδοὺς ἀφορμὰς βλάβης ἐν τῷ ἠθικῷ τόπῳ· μήτε τοῖς ὀλίγοις καὶ συνετώτερον ἐντυγχάνειν δυναμένοις, οὐχὶ πλήρη θεωρίας ἐκτιθέμενος, τοῖς ἐρευνᾷν τὸ βούλημα αὐτοῦ δυναμένοις, γραφήν. Καὶ τῶν μὲν σοφῶν σου ποιητῶν ἔοικε μηδὲ τὰ βιβλία ἔτι σώζεσθαι, φυλαχθέντα ἄν, εἰ ὁ ἐντυγχάνων ᾔσθετο ὠφελείας· τοῦ δὲ Μωσέως τὰ γράμματα πολλοὺς καὶ τῶν ἀλλοτρίων τῆς παρὰ τοῖς Ἰουδαίοις ἀνατροφῆς[3] κεκίνηκε πιστεῦσαι, ὅτι, κατὰ τὴν ἐπαγγελίαν τῶν γραμμάτων, ὁ πρῶτος αὐτὰ νομοθετήσας, καὶ Μωσεῖ παραδοὺς, θεὸς ὁ κτίσας τὸν κόσμον ἦν. Καὶ γὰρ ἔπρεπε τὸν ὅλου τοῦ κόσμου δημιουργὸν, νόμους τεθειμένον ὅλῳ τῷ κόσμῳ, δύναμιν παρασχεῖν τοῖς λόγοις, κρατῆσαι τῶν πανταχοῦ δυναμένην. Καὶ ταῦτά φημι, οὐδέπω περὶ

(1) Mallet Guietus: κωλύει. R.
(2) Omnes Codd. MSS. ὡς βούλεται. At sensus postulare videtur; ὡς βούλονται: quæ quidem lectio secunda manu apposita est in Cod. Joliano. R.
(3) Sic duo Codd. Vaticani; reliqui ἀναστροφῆς. R.

τοῦ Ἰησοῦ ἐξετάζων, ἀλλ' ἔτι Μωσέα, τὸν πολλῷ ἐλάττονα Κυρίου, δεικνὺς, ὡς ὁ λόγος παραστήσει, πολλῷ διαφέροντα τῶν σοφῶν σου ποιητῶν καὶ φιλοσόφων.

19. Ἑξῆς τούτοις ὁ Κέλσος, λεληθότως βουλόμενος διαβαλεῖν τὴν κατὰ Μωϋσέα κοσμοποιΐαν, ἐμφαίνοντα μηδέπω μυρίων ἐτῶν ἀριθμὸν ἔχειν τὸν κόσμον, ἀλλὰ πολλῷ τούτου λειπόμενον· προστίθεται, κλέπτων αὐτοῦ(1) τὸ βούλημα, τοῖς λέγουσιν ἀγένητον εἶναι τὸν κόσμον. Τὸ γὰρ πολλὰς ἐκ παντὸς αἰῶνος ἐκπυρώσεις γεγονέναι, πολλὰς δ' ἐπικλύσεις, καὶ νεώτερον εἶναι τὸν ἐπὶ Δευκαλίωνος κατακλυσμὸν ἔναγχος γεγενημένον· σαφῶς τοῖς ἀκούειν αὐτοῦ δυναμένοις παρίστησι τὸ κατ' αὐτὸν τοῦ κόσμου ἀγένητον. Λεγέτω δὴ ἡμῖν ὁ τῇ πίστει Χριστιανῶν ἐγκαλῶν, ποίοις ἀποδεικτικοῖς λόγοις ἠναγκάσθη παραδέξασθαι πολλὰς γεγονέναι ἐκπυρώσεις, καὶ πολλοὺς κατακλυσμούς· πάντων δὲ νεώτερον εἶναι κατακλυσμὸν μὲν τὸν ἐπὶ Δευκαλίωνος, ἐκπύρωσιν δὲ τὴν ἐπὶ Φαέθοντος. Ἀλλ' ἐὰν προβάλληται τοὺς Πλάτωνος περὶ τούτων διαλόγους, φήσομεν αὐτῷ, καὶ ἡμῖν ἐξεῖναι πιστεύειν, ἐν καθαρᾷ καὶ εὐσεβεῖ ψυχῇ Μωϋσέως, πᾶν γενητὸν ὑπεραναβάντος, καὶ τοῦ δημιουργοῦ τῶν ὅλων ἑαυτὸν ἐξαρτήσαντος, ἐμπεπολιτεῦσθαι πνεῦμα θεῖον, πολλῷ ἐναργέστερον Πλάτωνος, καὶ τῶν παρ' Ἕλλησι καὶ παρὰ βαρβάροις σοφῶν, τὰ τοῦ θεοῦ παραστήσαντος. Εἰ δ' ἀπαιτεῖ ἡμᾶς λόγους τῆς τοιαύτης πίστεως· διδότω πρότερος περὶ ὧν αὐτὸς ἀναποδείκτως ἀπεφήνατο, καὶ ἑξῆς κατασκευάσομεν τὰ ἡμέτερα ταῦθ' οὕτως ἔχειν.

20. Πλὴν καὶ ἄκων ἐνέπεσεν ὁ Κέλσος εἰς τὸ μαρτυρεῖν τῷ, νεώτερον εἶναι τὸν κόσμον, καὶ οὐδέπω μυρίων ἐτῶν, εἰπὼν καὶ Ἕλληνας ταῦτα νομίζειν ἀρχαῖα, ὡς(2) πρεσβύτερα, διὰ τοὺς κατακλυσμοὺς, καὶ τὰς ἐκπυρώσεις οὐ(3) τεθεωρήκασιν, οὐδ' ἀπομνημονεύουσιν. Ἔστωσαν δὲ τῷ Κέλσῳ τοῦ περὶ τῶν ἐκπυρώσεων καὶ ἐξυδατώσεων μύθου διδάσκαλοι, οἱ κατ' αὐτὸν

(1) Qu. αὑτοῦ? Boherellus.

(2) Guieto scribendum videtur; ὧν πρεσβύτερα: quod et mihi arridet. R.

(3) Duo Codd. Anglic. οὓς οὐ τεθ. Codd. Reg. et Basil. οὗ οὐ τεθ. Sicque Jolianus, qui in marg. habet ἃ οὐ τεθ.: reliqui Codd. MSS. neque οὓς, neque οὐ, neque ἅ; quos hoc loco sequimur. R.

σοφώτατοι Αἰγύπτιοι, ὧν τῆς σοφίας ἴχνη, ἄλογα ζῶα προσκυνούμενα, καὶ λόγοι παριστάντες εὔλογον εἶναι καὶ ἀνακεχωρηκυῖάν τινα καὶ μυστικὴν τὴν τοιαύτην τοῦ θεοῦ θεραπείαν. Κἂν μὲν Αἰγύπτιοι περὶ τῶν ζώων σεμνύνοντες ἑαυτῶν τὸν λόγον θεολογίας φέρωσι, σοφοί εἰσιν· ἐὰν δέ τις τῶν Ἰουδαίων συγκαταθέμενος νόμῳ καὶ νομοθέτῃ, πάντα ἀναφέρῃ ἐπὶ τὸν τῶν ὅλων δημιουργὸν καὶ μόνον θεὸν, ἥττων εἶναι παρὰ Κέλσῳ καὶ τοῖς ὁμοίοις αὐτῷ λογίζεται τοῦ μὴ εἰς λογικὰ μόνον καὶ θνητὰ ζῶα, ἀλλὰ καὶ εἰς ἄλογα κατάγοντος τὴν θεότητα, ὑπὲρ τὴν μυθικὴν μετενσωμάτωσιν, τὴν περὶ τῆς πιπτούσης ἀπὸ τῶν ἀψίδων τοῦ οὐρανοῦ ψυχῆς καὶ ἕως τῶν ἀλόγων ζώων, οὐ μόνον ἡμέρων, ἀλλὰ καὶ ἀγριωτάτων καταβαινούσης. Καὶ ἐὰν μὲν Αἰγύπτιοι μυθολογῶσι, πιστεύονται πεφιλοσοφηκέναι δι' αἰνιγμῶν(1) καὶ ἀπορρήτων· ἐὰν δὲ Μωϋσῆς ὅλῳ ἔθνει συγγράφων, ἱστορίας καὶ νόμους αὐτοῖς καταλίπῃ, μῦθοι κενοὶ νομίζονται, μηδ' ἀλληγορίαν ἐπιδεχόμενοι, οἱ λόγοι αὐτοῦ.

21. Τοῦτο γὰρ Κέλσῳ καὶ τοῖς Ἐπικουρείοις δοκεῖ, "Τούτου οὖν," φησὶ, "τοῦ λόγου τοῦ παρὰ τοῖς σοφοῖς ἔθνεσι καὶ ἐλλογίμοις ἀνδράσιν ἐπακηκοὼς, ὄνομα δαιμόνιον ἔσχε Μωϋσῆς." Καὶ πρὸς τοῦτο δὲ λεκτέον, ἵν' αὐτῷ συγχωρηθῇ, Μωϋσέα ἀκηκοέναι ἀρχαιοτέρου λόγου, καὶ τοῦτον Ἑβραίοις παραδεδωκέναι· ὅτι εἰ μὲν ψευδοῦς λόγου ἀκούσας, καὶ μὴ σοφοῦ, μηδὲ σεμνοῦ, παρεδέξατο αὐτὸν καὶ παρέδωκε τοῖς ὑπ' αὐτὸν, ἔγκλητός ἐστιν· εἰ δ', ὡς σὺ φῄς, συγκατέθετο δόγμασι σοφοῖς καὶ ἀληθέσι, καὶ ἐπαίδευσε τοὺς οἰκείους δι' αὐτῶν, τί ποτε κατηγορίας ἄξιον πεποίηκεν; Ὡς εἴθε καὶ ὁ Ἐπίκουρος, καὶ ὁ ἔλαττον αὐτοῦ εἰς τὴν πρόνοιαν ἀσεβῶν Ἀριστοτέλης, καὶ οἱ σῶμα εἰπόντες τὸν θεὸν Στωϊκοὶ, τοῦ λόγου τούτου ἤκουσαν· ἵνα μὴ πληρωθῇ ὁ κόσμος λόγου, ἀθετοῦντος πρόνοιαν, ἢ διακόπτοντος αὐτὴν, ἢ ἀρχὴν φθαρτὴν εἰσάγοντος τὴν σωματικὴν, καθ' ἣν καὶ ὁ θεὸς τοῖς Στωϊκοῖς ἐστι σῶμα, οὐκ αἰδουμένοις λέγειν αὐτὸν τρεπτὸν καὶ δι' ὅλων ἀλλοιωτὸν καὶ

(1) Cod. Jolian. ad marg. αἰνιγμάτων. R. Item Philocal. in textu: αἰνιγμάτων. L.

μεταβλητὸν, καὶ ἁπαξαπλῶς δυνάμενον φθαρῆναι, εἰ ἔχει[1] τὸν φθείροντα· εὐτυχοῦντα δὲ μὴ φθαρῆναι, παρὰ τὸ μηδὲν εἶναι τὸ φθεῖρον αὐτόν. Ἀλλ' ὁ Ἰουδαίων καὶ Χριστιανῶν λόγος, ὁ τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον τοῦ θεοῦ τηρῶν, ἀσεβὴς εἶναι νενόμισται, ἐπεὶ μὴ συνασεβεῖ τοῖς ἀσεβῆ περὶ θεοῦ φρονοῦσι, λέγων ἐν ταῖς πρὸς τὸ θεῖον εὐχαῖς· "σὺ δὲ ὁ αὐτὸς εἶ[2]." Πεπίστευται δὲ καὶ ὁ θεὸς εἰρηκέναι τό· "οὐκ ἠλλοίωμαι[3]."

22. Μετὰ ταῦτα τὸ περιτέμνεσθαι τὰ αἰδοῖα μὴ διαβαλὼν ὁ Κέλσος ὑπὸ Ἰουδαίων γιγνόμενον, φησὶν "ἀπὸ Αἰγυπτίων αὐτὸ ἐληλυθέναι·" Αἰγυπτίοις μᾶλλον ἢ Μωσεῖ πιστεύσας, λέγοντι πρῶτον ἐν ἀνθρώποις περιτετμῆσθαι τὸν Ἀβραάμ. Τοῦ δ' Ἀβραὰμ τὸ ὄνομα οὐ Μωϋσῆς ἀναγράφει μόνος, οἰκειῶν αὐτὸν θεῷ· ἀλλὰ γὰρ καὶ πολλοὶ τῶν ἐπᾳδόντων δαίμονας χρῶνται ἐν τοῖς λόγοις αὐτῶν τῷ· "ὁ θεὸς Ἀβραάμ·" ποιοῦντες μὲν διὰ τὸ ὄνομα καὶ τὴν πρὸς τὸν δίκαιον τοῦ θεοῦ οἰκειότητα. Διὸ παραλαμβάνουσι τήν· "ὁ θεὸς Ἀβραάμ" λέξιν, οὐκ ἐπιστάμενοι δὲ τίς ἐστιν ὁ Ἀβραάμ. Τὰ δ' αὐτὰ λεκτέον καὶ περὶ τοῦ Ἰσαὰκ, καὶ περὶ τοῦ Ἰακὼβ, καὶ περὶ τοῦ Ἰσραήλ· ἅτινα ὁμολογουμένως Ἑβραῖα ὄντα ὀνόματα, πολλαχοῦ τοῖς Αἰγυπτίοις ἐπαγγελλομένοις ἐνέργειάν τινα ἐνέσπαρται μαθήμασι. Τὸν δὲ λόγον τῆς περιτομῆς, ἀρξάμενον ἀπὸ τοῦ Ἀβραὰμ, καὶ κωλυόμενον ὑπὸ τοῦ Ἰησοῦ, μὴ βουλομένου τοὺς ἑαυτοῦ μαθητὰς τὸ αὐτὸ ποιεῖν, οὐ πρόκειται νῦν ἑρμηνεύειν. Οὐ γὰρ τῆς περὶ τούτων διδασκαλίας ὁ παρὼν καιρὸς, ἀλλὰ ἀγῶνος καθαιροῦντος τὰ φερόμενα ὑπὸ Κέλσου κατὰ τοῦ Ἰουδαίων λόγου ἐγκλήματα, οἰομένου τάχιον ψευδοποιήσειν τὸν Χριστιανισμὸν, ἐὰν τῆς ἀρχῆς αὐτοῦ ἐν τοῖς Ἰουδαϊκοῖς οὔσης λόγοις κατηγορῶν παραστήσῃ κἀκείνην ψευδῆ.

23. Ἑξῆς τούτοις φησὶν ὁ Κέλσος, ὅτι "τῷ ἡγησαμένῳ σφῶν ἑπόμενοι Μωϋσῇ αἰπόλοι καὶ ποιμένες, ἀγροίκοις ἀπάταις ψυχαγωγηθέντες, ἕνα ἐνόμισαν εἶναι θεόν." Δεικνύτω τοίνυν, πῶς αἰπόλων καὶ ποιμένων ἀλόγως, ὡς οἴεται, ἀποστάντων τοῦ σέβειν θεοὺς, αὐτὸς δύναται παραστῆσαι τὸ πλῆθος

(1) Qu. ἔχοι? (2) Psalm. ci. 27. (3) Malachi iii. 6.

τῶν καθ' Ἕλληνας θεῶν, ἢ τοὺς λοιποὺς βαρβάρους. Δεικνύτω τοίνυν ὑπόστασιν καὶ οὐσίαν Μνημοσύνης γεννώσης ἀπὸ Διὸς τὰς Μούσας· ἢ Θέμιδος τὰς Ὥρας· ἢ τὰς Χάριτας ἀεὶ γυμνὰς παραστησάτω δύνασθαι κατ' οὐσίαν ὑφεστηκέναι. Ἀλλ' οὐ δυνήσεται τὰ Ἑλλήνων ἀναπλάσματα σωματοποιεῖσθαι δοκοῦντα, ἀπὸ τῶν πραγμάτων δεικνύναι θεούς. Τί γὰρ μᾶλλον οἱ Ἑλλήνων μῦθοι περὶ θεῶν ἀληθεῖς, ἤ, φέρ' εἰπεῖν, οἱ Αἰγυπτίων, οὐκ εἰδότων τῇ σφῶν διαλέκτῳ Μνημοσύνην μητέρα Μουσῶν ἐννέα, οὐδὲ Θέμιν Ὡρῶν, οὐδὲ Εὐρυνόμην μητέρα(1) τῶν Χαρίτων, οὐδὲ τὰ λοιπὰ ὀνόματα αὐτῶν; Πόσῳ οὖν ἐναργέστερον, καὶ πάντων τούτων τῶν ἀναπλασμάτων βέλτιον, τὸ ἐκ τῶν ὁρωμένων πειθόμενον τοῖς κατὰ τὴν εὐταξίαν τοῦ κόσμου σέβειν τὸν δημιουργὸν αὐτοῦ, ἑνὸς ὄντος ἕνα, καὶ συμπνέοντος αὐτοῦ ὅλῳ ἑαυτῷ, καὶ διὰ τοῦτο μὴ δυναμένου ὑπὸ πολλῶν δημιουργῶν γεγονέναι· ὡς οὐδ' ὑπὸ πολλῶν ψυχῶν συνέχεσθαι ὅλον τὸν οὐρανὸν κινουσῶν· ἀρκεῖ γὰρ μία ἡ φέρουσα ὅλην τὴν ἀπλανῆ ἀπὸ ἀνατολῶν ἐπὶ δυσμὰς, καὶ ἐμπεριλαβοῦσα ἔνδον πάντα, ὧν χρείαν ἔχει ὁ κόσμος, τὰ μὴ αὐτοτελῆ. Πάντα γὰρ μέρη κόσμου, οὐδὲν δὲ μέρος ὅλου θεός. Δεῖ γὰρ εἶναι τὸν θεὸν μὴ ἀτελῆ, ὥσπερ ἐστὶ τὸ μέρος ἀτελές. Τάχα δὲ βαθύτερος λόγος δείξει, ὅτι κυρίως θεὸς ὥσπερ οὐκ ἔστι μέρος, οὕτως οὐδὲ ὅλον, ἐπεὶ τὸ ὅλον ἐκ μερῶν ἐστι· καὶ οὐκ ἐρεῖ λόγος παραδέξασθαι τὸν ἐπὶ πᾶσι θεὸν εἶναι ἐκ μερῶν, ὧν ἕκαστον οὐ δύναται ὅπερ(2) τὰ ἄλλα μέρη.

24. Μετὰ ταῦτά φησιν, ὅτι "οἱ αἰπόλοι καὶ ποιμένες ἕνα ἐνόμισαν θεὸν, εἴτε ὕψιστον, εἴτ' Ἀδωναῒ, εἴτ' οὐράνιον, εἴτε Σαβαὼθ, εἴτε καὶ ὅπῃ καὶ ὅπως χαίρουσιν ὀνομάζοντες τόνδε τὸν κόσμον· καὶ πλεῖον οὐδὲν ἔγνωσαν." Καὶ ἑξῆς δέ φησι· "μηδὲν διαφέρειν τῷ παρ' Ἕλλησι φερομένῳ ὀνόματι τὸν ἐπὶ πᾶσι θεὸν καλεῖν ἢ Δία, ἢ τῷ δεῖνι(3), φέρ' εἰπεῖν, παρ' Ἰνδοῖς, ἢ τῷ δεῖνι παρ' Αἰγυπτίοις." Λεκτέον δὲ καὶ πρὸς

(1) Cf. Hesiod. Theogon. v. 907.
(2) Qu. ὑπέρ?
(3) Ita Codd. Reg. et Basil. Philocal. vero cum reliquis MSS. τῷ δεῖνα—ἢ τῷ δεῖνα. Cod. Jolianus: τὸν δεῖνα—ἢ τὸν δεῖνα. R.

τοῦτο, ὅτι ἐμπίπτει εἰς τὸ προκείμενον λόγος βαθὺς, καὶ ἀπόρρητος, ὁ περὶ φύσεως ὀνομάτων· πότερον, ὡς οἴεται Ἀριστοτέλης, θέσει ἐστὶ τὰ ὀνόματα· ἢ, ὡς νομίζουσιν οἱ ἀπὸ τῆς Στοᾶς, φύσει, μιμουμένων τῶν πρώτων φωνῶν τὰ πράγματα, καθ' ὧν τὰ ὀνόματα, καθὸ καὶ στοιχεῖά τινα ἐτυμολογίας εἰσάγουσιν· ἢ, ὡς διδάσκει Ἐπίκουρος, (ἑτέρως ἢ ὡς οἴονται οἱ ἀπὸ τῆς Στοᾶς,) φύσει ἐστὶ τὰ ὀνόματα, ἀποῤῥηξάντων τῶν πρώτων ἀνθρώπων τινὰς φωνὰς κατὰ τῶν πραγμάτων. Ἐὰν τοίνυν δυνηθῶμεν ἐν προηγουμένῳ λόγῳ παραστῆσαι φύσιν ὀνομάτων ἐνεργῶν, ὧν τισι χρῶνται Αἰγυπτίων οἱ σοφοὶ, ἢ τῶν παρὰ Πέρσαις μάγων οἱ λόγιοι, ἢ τῶν παρ' Ἰνδοῖς φιλοσοφούντων Βραχμᾶνες, ἢ Σαμαναῖοι· καὶ οὕτω καθ' ἕκαστον τῶν ἐθνῶν· καὶ κατασκευάσαι οἷοί τε γενώμεθα, ὅτι καὶ ἡ καλουμένη μαγεία οὐχ, ὡς οἴονται οἱ ἀπὸ Ἐπικούρου καὶ Ἀριστοτέλους, πρᾶγμά ἐστιν ἀσύστατον πάντη, ἀλλ', ὡς οἱ περὶ ταῦτα δεινοὶ ἀποδεικνύουσι, συνεστὼς μὲν, λόγους δ' ἔχον σφόδρα ὀλίγοις γινωσκομένους· τότ' ἐροῦμεν, ὅτι τὸ μὲν Σαβαὼθ ὄνομα, καὶ τὸ Ἀδωναῒ, καὶ ἄλλα παρ' Ἑβραίοις μετὰ πολλῆς σεμνολογίας παραδιδόμενα, οὐκ ἐπὶ τῶν τυχόντων καὶ γενητῶν κεῖται πραγμάτων, ἀλλ' ἐπί τινος θεολογίας ἀποῤῥήτου, ἀναφερομένης εἰς τὸν τῶν ὅλων δημιουργόν. Διὸ καὶ δύναται ταῦτα τὰ ὀνόματα, λεγόμενα μετά τινος τοῦ συμφυοῦς(1) αὐτοῖς εἱρμοῦ· ἄλλα δὲ κατὰ Αἰγυπτίαν φερόμενα φωνὴν, ἐπί τινων δαιμόνων τῶν τάδε μόνα δυναμένων, καὶ ἄλλα κατὰ τὴν Περσῶν διάλεκτον ἐπὶ ἄλλων δυνάμεων, καὶ οὕτω καθ' ἕκαστον τῶν ἐθνῶν εἰς χρείας τινὰς παραλαμβάνεσθαι. Καὶ οὕτως εὑρεθήσεται τῶν ἐπὶ γῆς δαιμόνων, λαχόντων διαφόρους τόπους, φέρεσθαι τὰ ὀνόματα οἰκείως ταῖς κατὰ τόπον καὶ ἔθνος διαλέκτοις. Ὁ τοίνυν μεγαλοφυέστερον κἂν ὀλίγην τούτων περίνοιαν εἰληφὼς, εὐλαβηθήσεται ἄλλα ἄλλοις ἐφαρμόζειν ὀνόματα πράγμασι, μήποτε ὅμοιον πάθῃ τοῖς τὸ Θεὸς ὄνομα ἐσφαλμένως φέρουσιν ἐπὶ ὕλην ἄψυχον· ἢ τὴν τοῦ ἀγαθοῦ προσηγορίαν κατασπῶσιν ἀπὸ τοῦ πρώτου αἰτίου, ἢ ἀπὸ τῆς ἀρετῆς καὶ τοῦ καλοῦ, ἐπὶ τὸν τυφλὸν πλοῦτον, καὶ ἐπὶ τὴν

(1) Plerique MSS. συνύφους. Philocal. et uuus Cod. Anglic. συμφυοῦς.

σαρκῶν καὶ αἱμάτων καὶ ὀστέων συμμετρίαν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ, ἢ τὴν νομιζομένην εὐγένειαν.

25. Καὶ τάχα οὐκ ἐλάττων ὁ κίνδυνος τῷ τὸ ὄνομα τοῦ θεοῦ, ἢ τὸ ὄνομα τοῦ ἀγαθοῦ ἐφ' ἃ μὴ χρὴ κατάγοντι, ἤπερ τῷ τὰ κατά τινα ἀπόῤῥητον λόγον ὀνόματα ἐναλλάσσοντι, καὶ τὰ μὲν κατὰ τῶν ἐλαττόνων φέροντι ἐπὶ τὰ κρείττονα, τὰ δὲ κατὰ τῶν κρειττόνων ἐπὶ τὰ ἥττονα. Καὶ οὐ λέγω, ὅτι τῷ Διῒ εὐθέως συνεξακούεται ὁ Κρόνου καὶ Ῥέας υἱὸς, καὶ Ἥρας ἀνὴρ, καὶ Ποσειδῶνος ἀδελφὸς, καὶ Ἀθηνᾶς καὶ Ἀρτέμιδος πατὴρ, καὶ ὁ τῇ θυγατρὶ Περσεφόνῃ μιγείς· ἢ τῷ Ἀπόλλωνι συνεξακούεται ὁ Λητοῦς καὶ Διὸς υἱὸς, καὶ Ἀρτέμιδος ἀδελφὸς, καὶ Ἑρμοῦ ὁμοπάτριος ἀδελφός· καὶ ὅσα ἄλλα φέρουσιν οἱ σοφοὶ Κέλσου τῶν δογμάτων πατέρες, καὶ ἀρχαῖοι θεολόγοι Ἑλλήνων. Τίς γὰρ ἡ ἀποκλήρωσις, κυριολεκτεῖσθαι μὲν τὸν Δία, οὐχὶ δὲ καὶ τὸν πατέρα μὲν αὐτοῦ εἶναι Κρόνον, μητέρα δὲ Ῥέαν; Τὸ δ' ὅμοιον ποιητέον καὶ ἐπὶ τῶν ἄλλων ὀνομαζομένων θεῶν. Τοῦτο δὲ τὸ ἔγκλημα οὐδαμῶς ἅπτεται τῶν κατά τινα ἀπόῤῥητον λόγον τὸ Σαβαὼθ τασσόντων ἐπὶ τοῦ θεοῦ, ἢ τὸ Ἀδωναῒ, ἤ τι τῶν λοιπῶν ὀνομάτων. Ὅταν δὲ περὶ ὀνομάτων τις δύνηται τὰ ἐν ἀποῤῥήτοις φιλοσοφεῖν, πολλὰ ἂν εὕρῃ(1) καὶ περὶ τῆς ἐπικλήσεως τῶν ἀγγέλων τοῦ θεοῦ· ὧν ὁ μέν τις Μιχαὴλ, ἕτερος δὲ Γαβριὴλ, καὶ ἄλλος Ῥαφαὴλ καλεῖται, φερωνύμως τοῖς πράγμασιν, ἃ διακονοῦνται κατὰ(2) βούλημα τοῦ θεοῦ τῶν ὅλων ἐν τῷ παντί. Τῆς δ' ὁμοίας ἔχεται περὶ ὀνομάτων φιλοσοφίας καὶ ὁ ἡμέτερος Ἰησοῦς, οὗ τὸ ὄνομα μυρίους ἤδη ἐναργῶς ἑώραται δαίμονας ἐξελάσαν ψυχῶν καὶ σωμάτων, ἐνεργῆσαν εἰς ἐκείνους ἀφ' ὧν ἀπηλάθησαν. Ἔτι δ' εἰς τὸν περὶ ὀνομάτων τόπον λεκτέον, ὅτι οἱ περὶ τὴν χρῆσιν τῶν ἐπῳδῶν δεινοὶ ἱστοροῦσιν, ὅτι τὴν αὐτὴν ἐπῳδὴν, εἰπόντα μὲν τῇ οἰκείᾳ διαλέκτῳ, ἔστιν ἐνεργῆσαι ὅπερ ἐπαγγέλλεται ἡ ἐπῳδή· μεταβαλόντα δὲ εἰς ἄλλην οἱανδηποτοῦν φωνὴν, ἔστιν ἰδεῖν ἄτονον, καὶ οὐδὲν δυναμένην. Οὕτως οὐ τὰ σημαινόμενα κατὰ τῶν

(1) Philocal. impressa, εὕροι.
(2) Philoc. MSS. κατὰ τό.

πραγμάτων, ἀλλ' αἱ τῶν φωνῶν ποιότητες καὶ ἰδιότητες, ἔχουσί τι δυνατὸν ἐν αὐταῖς πρὸς τάδε τινὰ, ἢ τάδε. Οὕτω δ' ἀπολογησόμεθα διὰ τῶν τοιούτων[1] καὶ περὶ τοῦ μέχρι θανάτου ἀγωνίζεσθαι Χριστιανοὺς, ἵνα μὴ τὸν Δία θεὸν ἀναγορεύσωσι, μηδ' ἄλλῃ διαλέκτῳ αὐτὸν ὀνομάσωσιν. Ἢ γὰρ ἀορίστως ὁμολογοῦσι τὸ κοινὸν ὄνομα, τὸ ὁ Θεὸς, ἢ καὶ μετὰ προσθήκης τῆς· ὁ δημιουργὸς τῶν ὅλων, ὁ ποιητὴς οὐρανοῦ καὶ γῆς, ὁ καταπέμψας τῷ τῶν ἀνθρώπων γένει τούσδε τινὰς τοὺς σοφούς· ὧν τῷ ὀνόματι ἐφαρμοζόμενον τὸ Θεὸς ὄνομα, δύναμίν τινα παρὰ ἀνθρώποις ἐπιτελεῖ. Πολλὰ δ' ἂν καὶ ἄλλα λέγοιτο εἰς τὸν περὶ ὀνομάτων τόπον, πρὸς τοὺς οἰομένους δεῖν ἀδιαφορεῖν περὶ τῆς χρήσεως αὐτῶν. Καὶ εἴπερ θαυμάζεται ὁ Πλάτων, εἰπὼν ἐν Φιλήβῳ· "Τὸ δ' ἐμὸν δέος, ὦ Πρώταρχε, περὶ τὰ ὀνόματα τῶν θεῶν οὐκ ὀλίγον·" ἐπεὶ Φίληβος θεὸν τὴν ἡδονὴν εἶπεν ὁ προσδιαλεγόμενος τῷ Σωκράτει· πῶς οὐ μᾶλλον τῆς εὐλαβείας ἀποδεξόμεθα Χριστιανοὺς, μηδὲν τῶν ἐν ταῖς μυθοποιΐαις παραλαμβανομένων ὀνομάτων προσάπτοντας τῷ τοῦ παντὸς δημιουργῷ; Ἀλλὰ γὰρ τούτων ἐπὶ τοῦ παρόντος ἅλις.

26. Ἴδωμεν δὲ τίνα τρόπον συκοφαντεῖ Ἰουδαίους ὁ πάντ' ἐπαγγελλόμενος εἰδέναι Κέλσος, λέγων "αὐτοὺς σέβειν ἀγγέλους, καὶ γοητείᾳ προσκεῖσθαι, ἧς ὁ Μωϋσῆς αὐτοῖς γέγονεν ἐξηγητής." Ποῦ γὰρ τῶν γραμμάτων Μωϋσέως εὗρε τὸν νομοθέτην παραδιδόντα σέβειν ἀγγέλους, λεγέτω ὁ ἐπαγγελλόμενος εἰδέναι τὰ Χριστιανῶν καὶ Ἰουδαίων. Πῶς δὲ καὶ γοητεία παρὰ τοῖς παραδεξαμένοις τὸν Μωϋσέως νόμον ἐστὶν, ἀνεγνωκόσι καὶ τό· "τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε, ἐκμιανθῆναι ἐν αὐτοῖς[2];" Ἐπαγγέλλεται δὲ διδάξειν ἑξῆς· "πῶς καὶ Ἰουδαῖοι ὑπὸ ἀμαθίας ἐσφάλησαν ἐξαπατώμενοι." Καὶ εἰ μὲν ηὕρισκε τὴν περὶ Ἰησοῦ τοῦ Χριστοῦ ἐν Ἰουδαίοις ἀμαθίαν μὴ κατακουσάσι τῶν περὶ αὐτοῦ προφητειῶν, ἀληθῶς ἂν ἐδίδαξε, πῶς ἐσφάλησαν Ἰουδαῖοι. Νῦν δὲ ταῦτα οὐδὲ βουληθεὶς φαντασθῆναι, τὰ μὴ σφάλματα Ἰου-

(1) Desunt in Philocal. διὰ τῶν τοιούτων.

(2) Levit. xix. 31.

δαίων, σφάλματα εἶναι ὑπολαμβάνει. Ἐπαγγειλάμενος δ' ὁ Κέλσος ὕστερον διδάξειν τὰ περὶ Ἰουδαίων, πρῶτον ποιεῖται τὸν λόγον περὶ τοῦ Σωτῆρος ἡμῶν, ὡς γενομένου ἡγεμόνος τῇ καθὸ Χριστιανοί ἐσμεν γενέσει ἡμῶν, καί φησιν, αὐτὸν "πρὸ πάνυ ὀλίγων ἐτῶν τῆς διδασκαλίας ταύτης καθηγήσασθαι, νομισθέντα ὑπὸ Χριστιανῶν υἱὸν εἶναι τοῦ θεοῦ." Καὶ περὶ αὐτοῦ δὲ τοῦ, πρὸ ὀλίγων ἐτῶν γεγονέναι αὐτὸν, τοιαῦτα φήσομεν· ἆρα τὸ ἐν τούτοις(1) τοῖς ἔτεσι βουληθέντα σπεῖραι τὸν ἑαυτοῦ λόγον καὶ διδασκαλίαν τὸν Ἰησοῦν, τοσοῦτον δεδυνῆσθαι, ὡς πολλαχοῦ τῆς καθ' ἡμᾶς οἰκουμένης διατεθῆναι πρὸς τὸν λόγον αὐτοῦ οὐκ ὀλίγους Ἕλληνας καὶ βαρβάρους, σοφοὺς καὶ ἀνοήτους, ὥστε μέχρι θανάτου ἀγωνίζεσθαι ὑπὲρ Χριστιανισμοῦ, ἵν' αὐτὸν μὴ ἐξομόσαιντο, ὅπερ οὐδεὶς ὑπὲρ ἄλλου δόγματος ἱστόρηται ποιεῖν· ἀθεεὶ γεγένηται; Ἐγὼ μὲν οὖν οὐ κολακεύων τὸν λόγον, ἀλλὰ πειρώμενος τεθεωρημένως ἐξετάζειν τὰ πράγματα, φήσαιμι ἂν, ὅτι οὐδ' οἱ σώματα πολλὰ κάμνοντα θεραπεύοντες, ἀθεεὶ τυγχάνουσι τοῦ κατὰ τὴν ὑγίειαν τῶν σωμάτων τέλους· εἰ δὲ καὶ ψυχάς τις δύναιτο ἀπαλλάττειν τῆς κατὰ τὴν κακίαν χύσεως, καὶ ἀκολαστημάτων, καὶ ἀδικοπραγημάτων, καὶ τῆς περὶ τὸ θεῖον καταφρονήσεως, καὶ δεῖξιν διδοίη τοῦ τοιούτου ἔργου, βελτιωθέντας τὸν ἀριθμὸν ἑκατόν· (ἔστω γὰρ ἐπὶ τοσούτων(2) ὁ λόγος·) οὐδὲ τοῦτον ἂν εὐλόγως φήσαι τις ἀθεεὶ λόγον τοσούτων κακῶν ἀπαλλακτικὸν ἐμπεποιηκέναι τοῖς ἑκατόν. Εἰ δ' εὐγνωμόνως ταῦτα κατανοῶν συγκαταθήσεταί τῳ, μηδὲν κρεῖττον ἐν ἀνθρώποις γεγονέναι ἀθεεί· πόσῳ πλέον τὸ τοσοῦτον περὶ τοῦ Ἰησοῦ θαῤῥῶν ἀποφανεῖται, συνεξετάζων πολλῶν προσερχομένων αὐτοῦ τῷ λόγῳ ἀρχαιοτέρους βίους μεταγενεστέροις, καὶ κατανοῶν, ἐν ὅσαις μὲν ἀκολασίαις, ὅσαις δὲ ἀδικίαις καὶ πλεονεξίαις ἕκαστος τῶνδε ἦν, πρὶν, ὥς φησι Κέλσος καὶ οἱ τὰ αὐτὰ αὐτῷ νομίζοντες, ἀπατηθῶσι, καὶ παραδέξωνται λόγον λυμαινόμενον, ὡς ἐκεῖνοι λέγουσι, τὸν τῶν ἀνθρώπων βίον· ἐξ οὗ δὴ(3) παρειλήφασι τὸν λόγον, τίνα

(1) Codd. Regius et tres Anglicani: τὸ ἐν τοσούτοις ἔτεσι. R.
(2) Codd. Reg. et Basil. ἐπὶ τοσοῦτον. R.
(3) Codd. Reg. et Basil. δέ. R.

τρόπον γεγόνασιν ἐπιεικέστεροι καὶ σεμνότεροι καὶ εὐσταθέστεροι, ὥς τινας αὐτῶν διὰ τὸν ἔρωτα τῆς ὑπερβαλλούσης καθαρότητος, καὶ διὰ τὸ καθαρώτερον θρησκεύειν τὸ θεῖον, μηδὲ τῶν συγκεχωρημένων ὑπὸ τοῦ νόμου ἅπτεσθαι ἀφροδισίων.

27. Ἐξετάζων δέ τις τὰ πράγματα, ὄψεται, ὅτι μείζω τῆς ἀνθρωπίνης φύσεως ἐτόλμησεν ὁ Ἰησοῦς, καὶ τολμήσας ἤνυσε. Πάντων γὰρ ἀρχῆθεν ἀντιπραττόντων τῷ σπαρῆναι τὸν λόγον αὐτοῦ ἐπὶ τὴν ὅλην οἰκουμένην, τῶν τε κατὰ καιροὺς βασιλέων, καὶ τῶν ὑπ' αὐτοὺς(1) ἀρχιστρατήγων καὶ ἡγεμόνων, πάντων τε, ὡς ἔπος εἰπεῖν, τῶν ἡντινοῦν ἐξουσίαν ἐγκεχειρισμένων, ἔτι δὲ καὶ τῶν κατὰ πόλεις ἀρχόντων, καὶ στρατιωτῶν, καὶ δήμων, ἐνίκησε, μὴ πεφυκὼς κωλύεσθαι, ὡς λόγος θεοῦ, καὶ γενόμενος τοσούτων ἀνταγωνιστῶν ἰσχυρότερος, πάσης μὲν Ἑλλάδος, ἐπὶ πλεῖον δὲ τῆς βαρβάρου ἐκράτησε, καὶ μετεποίησε μυρίας ὅσας ψυχὰς ἐπὶ τὴν κατ' αὐτὸν θεοσέβειαν· ἀναγκαῖον δ' ἦν ἐν πλήθει κρατουμένων ὑπὸ τοῦ λόγου, ὧν(2) πολλαπλασίους οἱ ἰδιῶται καὶ ἀγροικότεροι τῶν ἐν λόγοις γεγυμνασμένων, πολλαπλασίους γενέσθαι τοὺς ἰδιώτας, καὶ ἀγροικοτέρους τῶν συνετωτέρων. Ἀλλὰ μὴ βουληθεὶς ταῦτα ὁ Κέλσος κατανοῆσαι, τὴν τοῦ λόγου φιλανθρωπίαν, καὶ φθάνουσαν ἐπὶ πᾶσαν ψυχὴν ἀνατολῆς(3) ἡλίου, οἴεται εἶναι ἰδιωτικὴν, καὶ διὰ τὸ ἰδιωτικὸν, καὶ οὐδαμῶς ἐν λόγοις δυνατὸν, ἰδιωτῶν μόνων κρατήσασαν· καίτοι οὐδ' αὐτὸς ἰδιώτας μόνους φησὶν ὑπὸ τοῦ λόγου προσῆχθαι τῇ κατὰ Ἰησοῦν θεοσεβείᾳ· ὁμολογεῖ γὰρ καὶ μετρίους καὶ ἐπιεικεῖς, καὶ συνετούς τινας, καὶ ἐπ' ἀλληγορίαν ἑτοίμους, εἶναι ἐν αὐτοῖς.

28. Ἐπεὶ δὲ καὶ προσωποποιεῖ, τρόπον τινὰ μιμησάμενος ἐν ῥήτορος παιδίον εἰσαγόμενον, καὶ εἰσάγει Ἰουδαῖον πρὸς

(1) Codd. Reg. et Basil. ὑπ' αὐτοῖς. R.

(2) Boherellus: "Lego ὡς, ut sit quasi parenthesis, qua significat Origenes plures ubique esse doctis imperitos."

(3) Boherell. et Guietus scribendum putant: ἀνατολήν: ut sit allusio ad Luc. i. 78. R.